A Οὗτος καταγνοὺς τοῦ γέροντος τοὺς τρόπους,
Ο βυρσοπαφλαγὼν, ὑποπεσὼν τὸν δεσπότην,
Ηκαλλ', ἐθώπευ', ἐκολάκευ', ἐξηπάτα,
Κοσκυλματίοις ἄκροισι τοιαυτὶ λέγων.
Ω δῆμε, λοῦσαι πρῶτον ἐκδικάσας μίαν,
Ενθου, ῥόφησον, ἔντραγ', ἔχε τριώβολον.
Βούλει παραθῶ σοι δόρπον; εἶτ' ἀναρπάσας
Ο, τι ἄν τις ἡμῶν σκευάσῃ τῷ δεσπότῃ
B Παφλαγὼν κεχάρισται τοῦτο. καὶ πρῴην γ' ἐμοῦ
Μᾶζαν μεμαχότος ἐν Πύλῳ Λακωνικὴν,
Πανουργότατά πως περιδραμὼν ὑφαρπάσας,
Αὐτὸς παρέθηκε τὴν ὑπ' ἐμοῦ μεμαγμένην.
Υμᾶς δ' ἀπελαύνει, κοὐκ ἐᾷ τὸν δεσπότην
Αλλον θεραπεύειν, ἀλλὰ βυρσίνην ἔχων
C Δειπνοῦντος ἑστὼς, ἀποσοβεῖ τοὺς ῥήτορας.
Αδει δὲ χρησμούς, εἶθ' ὁ γέρων σιβυλλιᾷ.

*Is cùm senis mores haberet cognitos,*
*Coriarius Paphlago cœpit hero subditus*
*Esse, illi adulari, morem gerere: vndique*
*Assentari: tum insuper in fraudem ducere,*
*Summis coriorum præsegminibus, & hæc loqui:*
*O popule Atheniensis, nunc primùm laua:*
*Postquam vnum iudicasti diem: cibum cape:*
*Sorbe vinum, comede, habe tibi triobulum.*
*Vin' cœnam apponam tibi? pòst nobis omnia*
*Abripuit, quæ nostrûm aliquis hero pararerat:*
*Et gratiam ab illo iniuit. Nam cùm ego in Pylo*
*Massam aliquam pinsuissem mihi Laconicam:*
*Homo astutissimè circumiuit, clanculum*
*Surripuit, & à me pistam apposuit pro sua,*
*Nos autem dimouet: nec alium sinit herum*
*Obseruare, manuque tenens scuticam loream*
*Stat, & à populo cœnante abarcet Rhetoras.*
*Canit item oracula: planeque Sibyllaturit.*

Σχόλια. Οὗτος καταγνούς.] θεωρήσας. περὶ τὴν ἡ κατά. ἤτοι καταμαθὼν καὶ αἰσθόμενος. πρὸς ἔμφασιν δὲ πλείονα εἶπε τοῦ μαθών. διενηνοχέναι δέ φασι, τὸ καταγνῶναι καὶ ἐπιγνῶναι ταύτῃ. ὅτι τὸ μὲν καταγνῶναι, ἰδίως ἐπὶ διαβολῇ καὶ πονηρίᾳ λέγουσιν οἱ παλαιοί. τὸ δὲ ἐπιγνῶναι, ἐπὶ τοῦ γνωρίσαι. γνῶναι δὲ χωρὶς τῆς κατὰ προθέσεως, τὸ μαθεῖν. καταγνοὺς οὖν, ἤτοι καταμαθὼν καὶ αἰσθόμενος. Ο βυρσοπαφλαγών.] συνέμιξε τὸ γένος καὶ τὴν τέχνην. ἵνα τὸ πλέον ὀνειδίσῃ, προσθήκης ἑκατέρου γινομένου θατέρου. Ηκαλλεν.] αἰκάλλειν ἐστὶ τὸ, τὴν κύνα τοῖς ὠσὶ καὶ τῇ οὐρᾷ σαίνειν τοὺς ἤθάδας. ἢ ἀπὸ μεταφορᾶς τῶν ἀλεκτρυόνων. κάλλαια γὰρ καλεῖται τούτων τὰ γένεια. πολλαὶ δὲ αἱ λέξεις ἀλλὰ τὸ σημαινόμενον ἕν. ἐκολάκευε γάρ. Κοσκυλματίοις.] τοῖς περικεκομμένοις καὶ ἀπορριφεῖσι δέρμασι. βούλεται δὲ λέγειν, λογαρίοις αἱμύλοις. τὸ δὲ πᾶν αὐτῷ νόημα, ὅτι λόγοις ἐξηπάτα τὸν δῆμον, δοκοῦσι μὲν ὠφέλειάν τινα ἔχειν, βλάπτουσι δὲ τὰ μέγιστα. ἄλλως. κοσκύλματα καλοῦνται τὰ περιττά. τὰ περιτεμνόμενα ἀπὸ τῶν κατλυματίων. κατλυματίοις οὖν λέγει, εὐτελέσι ῥήμασιν ἢ πράγμασιν. Εκδικάσας μίαν.] δικάσας. ὡσεὶ ἔλεγε γυμνασθείς. τοιαῦτα δὲ εἰώθασι τοῖς τρυφῶσιν οἱ κόλακες λέγειν. τοῦτό φησι κολακεύων ἔλεγε τὸν δῆμον. λείπει δὲ ἡμέραν. τὴν μίαν ἡμέραν ἐάσας ἀδίκαστον. Ενθου.] ἐπὶ ψωμοῦ καὶ τοῦ ἀκόλου οὕτω λεκτέον, καὶ ὅλως τοῦ φαγεῖν. Εντραγε.] οὕτω τὸ ἀκρατίζειν. καὶ Μένανδρος. ἀλλ' ἐῶν ἐντραγεῖν. ὁ γὰρ οἰκέτης ἐστὶ, βαρύτερον τὴν πρὸς τοὺς δοκοῦντας εἶναι ποιούμενος τρυφὴν, παρονειδίζων ὅτι τοσαῦτα ἀποστέλλεται οὐκ ἐπὶ δεῖπνον ἀλλ' ἀκρατισμόν. Εχε τριώβολον.] τὸν δικαστικὸν μισθόν. ἐπεὶ τριώβολον ἐλάμβανον. Μάζαν μεμαχότος.] τὰ πεφυραμένα ἄλευρα μαλάξαντος, καὶ ἀρτοποιήσαντος. ὡς ἐπὶ τροφῆς δὲ τὸ κατόρθωμα τὸ ἐν Πύλῳ εἶπεν. ἄλλως. τοῦτο ἀφ' ἱστορίας τέθεικεν ἧς μέμνηται καὶ Θουκυδίδης. ἔχει δὲ οὕτως. Δημοσθένης στρατηγὸς Ἀθηναίων, ἀποσταλεὶς εἰς Σικελίαν διὰ τὸν αὐτόθι πόλεμον, παραπλέων τὴν Πύλον καὶ τὴν Σφακτηρίαν δυνάμει προλαβὼν, τριακοσίους εἴληφεν αἰχμαλώτους. καὶ ἐδήλωσεν Ἀθηναίοις, τί βούλονται περὶ τούτων γενέσθαι. ἄλλων δὲ ἄλλα λεγόντων, Κλέων ἀναστὰς ἐπηγγείλατο ἡμερῶν ἀριθμὸν προσθεὶς, εἴσω ἐκείνων ἄξειν αὐτοὺς, ὡς γέλωτα πολὺν καὶ αὐτοῦ γενέσθαι. ἀγαγὼν δὲ αὐτοὺς, ὡς ἰδίαν πρᾶξιν κατορθώσας ἐπεσεμνύνετο. ἄλλως. ἐν τῇ Πύλῳ. τόπος δὲ ἐστὶ τῆς Λα-

D κωνικῆς στενὸς, διείργων καὶ ἀποχωρίζων τὰς ἀπὸ τῆς Θετταλίας καὶ Λακεδαιμονίας εἰσβολάς. ἔνθα Λεωνίδας πρότερον τῶν Μακεδόνων βασιλεὺς, ἅμα καὶ Σπαρτιατῶν ἀντέστη Ξέρξῃ τῷ τῶν Περσῶν βασιλεῖ. καὶ πολλοὺς τῶν Περσῶν ἀποκτείνας ἀριστεύων ἐτελεύτησε, κυκλωθεὶς ἐκ προδοσίας, Επιάλτου τινὸς δείξαντος τοῖς Πέρσαις διὰ τῶν ὀρῶν ὁδόν. ἐνταῦθα οὖν ὁ Δημοσθένης ἀπόβασιν ποιησάμενος σὺν ὀλίγοις, ἐξετείχισε τὸ χωρίον, καὶ κατέστησε φρούριον. βοηθησάντων δὲ τῶν Λακεδαιμονίων, διὰ τάχους Βρασίδου στρατηγοῦντος, αὐτός τε ὁ

E Βρασίδας ἀπέβαλε τὴν ἀσπίδα, καὶ πολλοὶ τῶν Λακεδαιμονίων ἀπέθανον ἐν τῇ μάχῃ. ἔνιοι δὲ κατέφυγον καταπονούμενοι, εἰς τὴν κατ' ἀντικρὺ νησίδα τὴν Σφακτηρίαν. καὶ αὐτὸς ὁ Δημοσθένης μετεπέμψατο ἀπὸ τῶν Ἀθηναίων, ὡς ἂν πλείονι δυνάμει χρησάμενος, τοὺς ἄνδρας ἐκπολιορκοίη. ὁ γοῦν Κλέων γνοὺς ὅτι ὑπὸ τῆς ἀνάγκης καὶ λιμοῦ, καὶ δίψους, οὐχ οἷοί τε εἰσὶ πλείοσιν ἀντέχειν ἡμέραις, ἐπεὶ καὶ τοῦτο ἤγγελλον οἱ ἀπὸ τοῦ στρατοπέδου ἀφικνούμενοι, παρελθὼν εἰς τὸν δῆμον, εἰ λάβοι δύ-

F ναμιν ὡς αἰτεῖ Δημοσθένης, ἐπηγγείλατο ἐντὸς κ ἡμερῶν παραστήσειν τοὺς πολιορκουμένους. καὶ οὕτω διαπλεύσας, καὶ τοὺς Λακεδαιμονίους λαβὼν, ἔδοξεν αὐτοῖς κατορθοῦν τὸ τοῦ Δημοσθένους ὁ Κλέων. ἐπειράθη γὰρ ὑφαρπάσαι τὸ τέλος τῶν ἐκείνου πόνων. Μεμαγμένην.] παρεσκευασμένην. καὶ ἐν ἑτοίμῳ γινομένην. Αλλὰ βυρσίνην ἔχων.] ῥυτῆρα. ἱμάντα. ἔπαιξε δὲ παρὰ τὸ βυρσοδέψην εἶναι τὸν Κλέωνα, ἐναλλαγὴν στοιχείου ἐργασάμενος. ἔδει γὰρ εἰπεῖν μυρρίνην ἔχων ἀποσοβεῖ τὰς μυίας. ταύτῃ γὰρ ἐστεφανοῦντο οἱ στρατηγοί, βυρσίνην εἶπεν ἔχων ἀποσοβεῖ τοὺς

G ῥήτορας, ὡς πρὸς βυρσοδέψην. Εἶθ' ὁ γέρων σιβυλλιᾷ.] περὶ τὸν χρόνον τοῦτον ταραχώδη ὄντα, εἰκότως πολλὰ τοιαῦτα γίνεσθαι. γέρων δὲ ὁ δεσπότης, ἤγουν ὁ δῆμος. σιβυλλιᾷ δὲ, χρησμῶν ἐρᾷ καὶ ἐπιθυμεῖ. ἢ παραληρεῖ ἐπεὶ ἡ Σίβυλλα μακρόβιος. ἢ τοῖς χρησμοῖς ἥδεται ἢ ἀπατᾶται. μαντικῶς ἔχει. χρησμοὺς φαντάζεται. χρησμολόγος γὰρ Ἐρυθραία ἦν ἡ Σίβυλλα. ἢ μέγα φρονεῖ καὶ ἐπαίρεται.